# John 3:1-13 Practice

Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος

ὄνομα αὐτῷ, ἄρχων (ruler) τῶν Ἰουδαίων· 2 οὗτος

ἦλθεν πρὸς αὐτὸν νυκτὸς καὶ εἶπεν αὐτῷ· ῥαββί,

οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας (you [sg] have come)

διδάσκαλος· οὐδεὶς γὰρ δύναται ταῦτα τὰ σημεῖα

ποιεῖν (to do) ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ (he/she/it may be)

ὁ θεὸς μετʼ αὐτοῦ. 3 ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν

αὐτῷ· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ

(he/she/it may be born) ἄνωθεν (again/from above), οὐ

δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ. 4 Λέγει
πρὸς αὐτὸν [ὁ] Νικόδημος· πῶς δύναται ἄνθρωπος
γεννηθῆναι γέρων ὤν (to be born when he is old?); μὴ
δύναται εἰς τὴν κοιλίαν (womb) τῆς μητρὸς αὐτοῦ
δεύτερον (a second time) εἰσελθεῖν (to enter into) καὶ
γεννηθῆναι (to be born); 5 ἀπεκρίθη Ἰησοῦς· ἀμὴν
ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ
πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν
βασιλείαν τοῦ θεοῦ. 6 τὸ γεγεννημένον (the one who
has been born) ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, καὶ τὸ
γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. 7

μὴ <u>θαυμάσῃς (marvel!)</u> ὅτι εἶπόν σοι· δεῖ ὑμᾶς
<u>γεννηθῆναι ἄνωθεν</u>. 8 τὸ πνεῦμα ὅπου θέλει <u>πνεῖ</u>
<u>(he/she/it blows)</u> καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽
οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ <u>ὑπάγει (he/she/it</u>
<u>goes)</u> · οὕτως ἐστὶν πᾶς <u>ὁ γεγεννημένος</u> ἐκ τοῦ
πνεύματος. 9 Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν
αὐτῷ· πῶς δύναται ταῦτα <u>γενέσθαι (to be)</u>; 10
ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ
διδάσκαλος τοῦ Ἰσραὴλ καὶ ταῦτα οὐ γινώσκεις;
11 ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν
καὶ ὃ <u>ἑωράκαμεν (we have seen)</u> μαρτυροῦμεν, καὶ

τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. 12 εἰ τὰ
ἐπίγεια (earthly) εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς
ἐὰν εἴπω (I speak) ὑμῖν τὰ ἐπουράνια (heavenly)
πιστεύσετε; 13 καὶ οὐδεὶς ἀναβέβηκεν (he/she/it has
ascended) εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ
καταβάς (the one who came down), ὁ υἱὸς τοῦ
ἀνθρώπου.